ἀντιδιαστολὴν τοῦ Ἱππικοῦ, εἴτε Ἱππίου. ὡς ἐν Νεφέλαις,

Νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν Ἵππιον,

καὶ τῶν ἄλλων ἐπιθέτων εἴρηται. ἁλυκὸς δὲ λέγεται διὰ τὸ τοῦ ἁλὸς, εἴτε τῆς θαλάσσης ἀνάσσειν. ἁλυκῶ δὲ ἀντὶ τοῦ ἁλυκὸν Ἀττικῶς ἄνευ τοῦ ν, ἐν τῇ τῆς τετάρτης κλίσεως ἐνικῇ αἰτιατικῇ, ὡς καὶ τὰ, τὸν λαγὼ. τὸν Ἄθω, τὴν Κέω, τὴν Ἕω. καὶ ἄλλα πολλὰ παρὰ τοῖς τῶν παλαιῶν Ἀττικῶν, ἃ διὰ

A τοῦ ν κοινῶς ἐκφέρεται. Ἀλλὰ τοῦτο σημειωτέον ὡς καινότερον, καὶ ἀχρηστότερον.

CHRIST. Ὥστε θ' αἱματίδια.] Lege θ' αἱματίδια pro τὰ ἱματίδια, qua ratione θοἰμάτιον dicitur τὸ ἱμάτιον, & ille locus siue adlusio apud Laertium, ἐπ' ἀλειμμάτιον, & ἐπ' ἀλλοιμάτιον, hinc fluxit. Paulò post pro ὃν ἐσκεύασας legerem ὅν τ' vel ὡς.

B Ταῖσιν γυναιξὶ καὶ διδάσκωμεν τρυφᾶν,
Τοιαῦτ' ἀπ' αὐτῶν βλαστάνει βουλεύματα.
Οἳ λέγομεν ἐν τῶν δημιουργῶν τοιαδί.
Ὦ χρυσοχόε, τὸν ὅρμον ὃν ἐσκεύασας
Ὀρχουμένης μου τῆς γυναικὸς ἑσπέρας,
Ἡ βάλανος ἐκπέπτωκεν ἐκ τοῦ τρήματος.
Ἐμοὶ μὲν οὖν ἔστ' ἐς Σαλαμῖνα πλευστέα.
Σὺ δ' ἢν σχολάσῃς πάσῃ τέχνῃ πρὸς ἑσπέραν
C Ἐλθὼν, ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον.
Ἕτερος δέ τις πρὸς σκυτοτόμον ταδὶ λέγει
Νεανίαν καὶ πέος ἔχοντ' οὐ παιδικόν.
Ὦ σκυτοτόμε, τὸν μου γυναικὸς τὸν πόδα
Τὸ δακτυλίδιον πιέζει τὸ ζυγὸν,
Ἅτ' ἁπαλὸν ὄν. τοῦτ' οὖν σὺ τῆς μεσημβρίας
Ἐλθὼν χάλασον ὅπως ἂν εὐρυτέρως ἔχῃ.
Τοιαῦτ' ἀπήντηκ' εἰς τοιαυτὶ πράγματα
D Ὅτε γ' ὢν ἐγὼ πρόβουλος ἐκπορίσας ὅπως
Κωπῆς ἔσονται, τἀργυρίου νυνὶ δέον
Ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν.
Ἀλλ' οὐδὲν ἔργον ἑστάναι. φέρε τοὺς μοχλοὺς
Ὅπως ἂν αὐτὰς τῆς ὕβρεως ἐγὼ σχέθω.
Ποῖ κέχηνας ὦ δύστηνε; ποῖ δ' αὖ σὺ βλέπεις;
Οὐδὲν ποιῶν ἀλλ' ἢ καπηλεῖον σκοπῶν.
E Οὐχ ὑποβαλόντες τοὺς μοχλοὺς ὑπὸ τὰς πύλας
Ἐντεῦθεν ἐκμοχλεύσετ', ἐνθένδ' ἐγὼ
Συνεκμοχλεύσω. Λυ. μηδὲν ἐκμοχλεύσετε.
Ἐξέρχομαι γὰρ αὐτομάτη τί δεῖ μοχλῶν.
Οὐ γὰρ μοχλῶν δεῖ μᾶλλον, ἢ νοῦ καὶ φρενῶν.

*Hortemur illas viuere, ac vitam parem*
*Agamus, inde exempla manant talia.*
*Nam sic opifices sæpè compellant viri,*
*Quod aurifex monile fabricaueras,*
*Dum nostra sero saltat uxor vespere,*
*Elapsa pendens fibula è foramine est,*
*Mihi Salamina nauigandum protinus:*
*Quod si tibi opera est, te rogo vt prima face*
*Visens ad hanc spinther reconcinnes fluens:*
*Quidam alter ista verba sutori inquiet*
*Iuuenti, & habenti grandiorem mentulam,*
*O sutor, vrit coniugis meæ pedem*
*Corrigia nexi calcei substrictior*
*Tenella nempe: sed veni ad meridiem*
*Et laxiorem redde sodes, annulum.*
*Ego incidi istis ista designantibus:*
*Postquam ergo victum comparaui in remiges*
*Prouisor, & nunc vsus argenti expetit,*
*Mihi impudentes fœminæ occludunt fores.*
*Quid stamus ociosi? age huc vectes cedo*
*Vt arceam harum facilè contumeliam.*
*Quid oscitas misselle, quóve respicis?*
*Nihil facis, tantúmque cauponæ immines:*
*Vectes age istos ianuis supponite,*
*Reuellite isthinc, hinc ego euellam simul*
*Et adiuuabo.* LYS. *Parcite hoc conuellere,*
*Vltrò egredi parata sum, quid vecti opus?*
*Plus mente sana nunc opus quàm vectibus.*

BISETUS. Ἐκ τῶν δημιουργῶν.] δημιουργοὶ, ὥς φησιν Εὐστάθιος, οἱ χειροτέχναι, ἤγουν οἱ δημόσια ἐργαζόμενοι ἐπὶ μισθῷ. παρὰ Δωριεῦσι δὲ, οἱ τοῦ δήμου F προεστῶτες, δημιουργοὶ ἐλέγοντο. Ἀττικοὶ δὲ, καὶ τὰς πεττούσας τὰ πέμματα γυναῖκας, δημιουργοὺς ἔλεγον. καὶ τὰς ἐν τοῖς γάμοις ὑπουργούσας ὁμοίως. καὶ ὁ αὐτὸς ἀλλαχοῦ, δημιουργοὶ γυναῖκες αἱ δημόσιαι, εἴτουν αἱ πόρναι. νῦν δ' ἁπλῶς τοὺς χειροτέχνας οὕτω καλεῖ. τούτων δὲ ἡ σύνταξις, καὶ ὁ νοῦς οὗτος. ἡμεῖς τοῖς τῶν δημιουργῶν, ἤγουν ἡμεῖς τοῖς δημιουργοῖς οὖσι τοιαῦτα, τὰ κάτω λέγομεν. Τὸν ὅρμον.] ὅρμος, νῦν ὁ γυναικεῖος περιτραχήλιος κόσμος. παρὰ τὸ ἕρμα, ὅ ἐστιν ἀσφάλισμα. G ὥς φησιν Εὐστάθιος. βάλανοι δὲ, τὰ ἐξηρτημένα τῶν ὅρμων περὶ τὸν τράχηλον, ὡς ἐνταῦθα. ἀλλαχοῦ δὲ, βάλανος κυρίως λέγεται ὁ τῶν δρυῶν καὶ τῶν φοινίκων καρπός. καὶ βάλανος ὁμωνύμως τὸ ἄκρον τοῦ αἰδοίου. καθ' ὁμοιότητα. καὶ ἰατροὶ τὰ ἐντιθέμενα τῇ ἕδρᾳ, βαλάνους λέγουσιν. ἐκ τοῦ τρήματος δὲ τοῦ ὅρμου δηλονότι, ὅπου πρότερον ἦν ἡρμοσμένος. τρῆμα δὲ, τὸ τρύπημα. ἡ ὀπή. παρὰ τὸ τορεῖν, καὶ κατὰ συγκοπὴν τρεῖν ὅ ἐστι τρυπᾶν. ἡ δὲ τούτων σύνταξις αὕτη. ὦ χρυσοχόε, ἡ βάλανος τοῦ ὅρμου, ὃν ὅρμον ἐσκεύασας, ἐκπέπτωκε. καὶ τὰ ἑξῆς. ἀλλὰ τὸ σχῆμα καινοπρεπέστερον.

CHR. Ἡ βάλανος.] Hesychius rectè τὰς βαλάνους exponit τὰ ἐξηρτημένα τῶν ὅρμων περὶ τὸν τράχηλον. Sed quia βάλανος etiam pro parte obscœna accipitur plerumque, videtur Comicus eò adludere voluisse, & in voce τρήματος, intellexisse illam Sotadicam τρυμαλιὰν εἰς ἣν τὸ κέντρον ὠθεῖται. Quod autem ait postea τὴν βάλανον ἐνάρμοσον vel potius diuisim εὖ ἅρμοσον, quis negare ausit huc respexisse Comicum Latinum, cùm dixit Menechmis, Iubeántque nouum spinther reconcinnarier.